ἄτεχνος, καὶ ᾧ οὐκ ἄν τις φθονήσειεν. ἀμέγαρτος πόνος, ὁ εἰς μέγα αἰρόμενος, ὁ πολὺς, καὶ μέγας. ἢ ᾧ οὐδεὶς μεγαίρει, ὅ ἐστι φθονεῖ. πάθος οὖν ἀμέγαρτον, τὸ μέγα, τὸ ἀζήλωτον, καὶ ἀφθόνητον. Τὸν βάρβαρον] ἴσως κατὰ πλέον, καὶ τὸν βάρβαρον, ἤγουν τὸν Σκύθην, ὃν καὶ τοξότην ἐκάλεσεν. Ἀθανάταν φλόγα] Δωρικῶς, ἀντὶ τοῦ ἀθανάτην, ὡς καὶ αἰόλαν, ἀντὶ τοῦ αἰόλην. ἀθανάτην δὲ φλόγα καλεῖν δοκεῖ τὸν ἀθάνατον ἥλιον, οὗ ἐστιν ἡ φλὸξ, καὶ τὸ φῶς ἀθάνατον. Ὡς ἐκρεμάσθην] τούτων ὁ νοῦς ὅδε εἶναι δοκεῖ. καὶ γὰρ διὰ τὰ ἄχη τὰ λαιμότμητα, κατὰ τὴν δαιμόνων αἰόλην πορείαν ἐπὶ νέκυσιν ἐκρεμάσθην. ἄχη δὲ B λαιμότμητα καλεῖ τὰς λύπας τὸν λαιμὸν, εἴτε τὴν φάρυγγα τεμνούσας, ἃς Ὅμηρος ἄλγη κέρτομα, καὶ κερτόμια ἂν εἴποι. νῦν γὰρ τὸ λαιμότμητον ἐνεργητικῶς μᾶλλον, ἢ παθητικῶς ληπτέον, ὡς ἐκ τῆς τούτων ἐννοίας δῆλον. ἄχη δὲ κατ' ἔλλειψιν τῆς διά. καὶ ἐν τῷ πορείαν, ἔλλειψις τῆς κατὰ προθέσεως. αἱ δὲ τοιαῦται τῶν προθέσεων ἐλλείψεις πλεῖσται παρ' Εὐριπίδῃ. νέκυσιν ἐπὶ, βέλτιον νέκυσιν ἔπι, ὅτι ἡ πρόθεσις τὴν οἰκείαν χώραν μετέβαλεν. αἰόλην δὲ, τὴν σκοτεινὴν, καὶ μέλαιναν. Ἄλλως. Ἐκρεμάσθην ἴσως λέγεται, ὅτι Μνησίλοχος προσποιεῖται εἶναι Ἀνδρομέδη πρὸς C θαλασσίῳ σκοπέλῳ δεθεῖσα, καὶ κρεμασθεῖσα. διὸ καὶ κάτω Εὐριπίδης λέγει, ὦ παρθέν' οἰκτείρω σε κρεμαμένην ὁρῶν. ταῦτα δὲ οὕτω ληπτέον. ὡς ἐγὼ κρεμασθεῖσα

A ἀνέχω, φέρω, πάσχω ἄχη πικρότατα, καὶ τὸν λαιμὸν τέμνοντα ὑπὸ δαιμόνων, τουτέστι τῆς Δήμητρος, καὶ τῆς Κόρης, εἰς ὧν τιμὴν τὰ Θεσμοφόρια ἐτελεῖτο, ἐπιπεμφθέντα. πῶς; κατὰ πορείαν αἰόλην ἐπὶ νέκυσι. τὴν δὲ τούτων ἀσάφειαν τίκτει τὸ καινοπρεπὲς τῆς φράσεως, καὶ τῆς συντάξεως, καὶ ἡ τοῦ λέγοντος ἀσύστατος, ἄδηλος, καὶ τεταραγμένη ῥῆσις. καὶ γὰρ ὁ Μνησίλοχος τοτὲ μὲν, ὡς Μνησίλοχος περὶ ἑαυτοῦ πολλὰ λέγει, τοτὲ δὲ, ὡς μία τῶν θεσμοφοριαζουσῶν γυνὴ, τοτὲ δὲ, ὡς Ἀνδρομέδη, καὶ διάφορα πάθη τούτοις τοῖς διαφόροις προσώποις κατὰ διαφόρους καιροὺς συμβάντα B συγχεῖ, ἅπερ ἐπιμελῶς ἐξετασθέντα, καὶ διορισθέντα, ἐννοιῶν μεγάλην ἔχει διαφοράν. ὁ τοίνυν βουλόμενος τούτων ἀκρίβειαν σαφεστέραν ἔχειν, πάντα καλῶς σκοπείτω, καὶ διακρινέτω τίς ὁ λέγων, τίς ὁ τοῦ λόγου τρόπος, τίς ἡ αἰτία, καὶ πῶς ἕκαστα χωρὶς ἢ καὶ ἀναμὶξ ληπτέον. τινὲς δὲ τὴν τούτων ἀσάφειαν καὶ δυσχέρειαν καταμαθόντες, ἀντὶ τοῦ δαιμόνων, γραπτέον οἴονται διαμένων, καὶ ταῦτα οὕτω συντάσσουσιν, ὡς ἐκρεμάσθην διαμένων ἄχη λαιμότμητα, ἐπὶ πορείαν αἰόλην νέκυσιν. ὅπερ οὐκ ἀπίθανον. οὕτω γὰρ τὸ τῶν ἐλλείψεων πλῆθος φεύξεις, καὶ μηδὲν καινοῦ λέξεις. C τὸ δὲ διαμένειν ἐνταῦθα ὡς τὸ ἁπλοῦν μένω ληπτέον, ὡς ἐν τῷ Ἡσιοδείῳ, μείναντες χειμῶνα, ἀντὶ τοῦ ὑπομείναντες, ἐνεγκόντες, παθόντες. οὕτω πάντα καλῶς ἂν ἔχοι.

## ΕΥΡΙΠΙΔΗΣ ΩΣ ΗΧΩ, ΜΝΗΣΙΛΟΧΟΣ ΩΣ ΑΝΔΡΟΜΕΔΗ, ΣΚΥΘΗΣ.

D
Χαῖρ' ὦ φίλη παῖ. τὸν δὲ πατέρα Κηφέα,
Ὅς σ' ἐξέθηκεν, ἀπολέσειαν οἱ θεοί.
Μν. Σὺ δ' εἶ τίς ἥτις τοὐμὸν ᾤκτειρας πάθος.
Ηχ. Ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκύστρια.
Ἥπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ
Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.
E Ἀλλ' ὦ τέκνον. σὲ μὲν τὰ σαυτῆς χρὴ ποιεῖν,
Κλάειν ἐλεεινῶς. Μν. σὲ δ' ἐπικλάειν ὕστερον.
Ηχ. Ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλ' ἄρχου λόγων.
Μν. Ὦ νὺξ ἱερά.
Ὡς μακρὸν ἵππευμα διώκεις
Ἀστεροειδέα νῶτα διφρεύου-
Σ' αἰθέρος ἱερᾶς,
F Τοῦ σεμνοτάτου δι' Ὀλύμπου. Ηχ. Δι' Ὀλύμπου.
Μν. Τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
Μέρος ἐξέλαχον. Ηχ. Μέρος ἐξέλαχον.
Θανάτου τλήμων. Ηχ. Θανάτου τλήμων.

## EVRIPIDES TANQVAM ECHO, Mnesilochus tanquã Andromeda, Scytha.

*Salue ô chara filia, patrem autem Cepheum*
*Qui te exposuit, perdant dij.*
MN. *Tu verò quaenam es, quae meam miserata es calamitatem?*
ECHO. *Echo verborum resonans assibilatrix,*
*Quae quidem superiori anno in hoc eodem loco*
*Euripidem & ipsa defendi.*
*Sed ô filia, te quidem tot oportet facere,*
*Flere miserabiliter.* MN. *te verò in*
*Fletu respondere postea.*
ECHO. *Mihi erunt curae quidem haec, sed incipe & auspicare verba.*
MN. *O nox sacra,*
*Quàm longam equitationem impellis,*
*Stellata dorsa curru*
*Pertransiens aetheris sacri,*
*Venerabilissimũ per Olympũ.* ECH. *per Olympũ.*
MN. *Quidnam ego Andromeda de alijs malis,*
*Partem sortita sum?* ECH. *Partẽ sortita sum.*
MN. *Mortis misera.* ECHO. *Mortis misera.*

BISETVS. Χαῖρ' ὦ φίλη παῖ] Εὐριπίδης ὡς Ἠχὼ τὸν Μνησίλοχον ὡς Ἀνδρομέδην προσφωνεῖ, καὶ ταῦτα λέγει. ἐξέθηκεν δὲ, παρέβαλε τῷ κήτει. περὶ οὗ ἐν τοῖς ἄνω προείρηται.

G BOVRDINVS. Κηφέα.] ὅστις πατὴρ ἦν Ἀνδρομέδης, καὶ αὐτὴν ἐξέθηκε τῷ κήτει, ὡς βορὰν γενησομένην. Ἐξέθηκεν] προὔβαλλετο. Ἀντῳδός.] ἀντᾴδουσα λόγους, ἀνταποδιδοῦσα ἀντίους λόγους. Ἐπικοκκάστρια.] ἐπικοκκάζουσα, ἀντεπᾴδουσα. κοκκάζειν, ἐπᾴδειν, ἀπὸ τοῦ ψόφου τὸ ῥῆμα μεταχθέν. Ξυνηγωνιζόμην.] συνελάμβανον, συνέπραττον. Ἵππευμα.] ἱππεύεις, τουτέστι ὡς μακρὰν διαπορεύεις, διώκεις, ἐλαύνεις. Ἀστεροειδέα] ἄστροις λάμποντα φεύγεις. Διφρεύουσα] διελαύνουσα καὶ διαβαίνουσα. Τοῦ σεμνοτάτου.] τοῦ πολυσέμνου, καὶ λαμπροτάτου. Ἐξέλαχον.] ἐνέτυχον κακῷ.

BISETVS. Ἠχὼ λόγων] Εὐριπίδης τὴν ἠχὼ μιμούμενος, ἵνα μὴ ὑπὸ τῶν γυναικῶν, καὶ τοῦ τοξότου τὸν Μνησίλοχον φυλάττοντος ἀναγνωρισθείη ἐνταῦθα νοητέος. ἐπικοκκύστρια δὲ, παρὰ τὸ ἐπικοκκύζειν. κοκκύζειν δὲ κυρίως λέγεται ὁ κόκκυξ ὄρνεον. καταχρηστικῶς δὲ καὶ περὶ